καὶ βύει τῦ φυτῦ τὰς ὁδοὺς, δι' ὧν οἱ πόροι· καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν.

Κεφάλαιον ς.

Καθολικῷ δὲ λόγῳ, πᾶν φυτὸν τεττάρων τινῶν δεῖται, σπέρματος διωρισμένου, τόπου ἁρμοδίου, ὕδατος συμμέτρου, καὶ ἀέρος ὁμοίου. ὅταν οὖν ταῦτα πάντα συντελεσθῶσι, γίνεται φυτὸν, καὶ αὐξάνει· ὅτε δὲ ταῦτα ἀποχωρήσουσι, ἀσθενεῖ τῇ ἀποχωρήσει καὶ τὸ φυτόν. πάλιν τὸ φυτὸν τὸ περιὸν ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἔσται εἶδος, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν· ὁ καρπὸς δὲ ὁ σκληρότερος εἰς πέψιν, οὐχ ὡς ἐπὶ τὸ πολὺ τρέφει. τόποι δὲ ἀπομεμακρυσμένοι τοῦ ἡλίου, οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. ὁμοίως, ἐὰν ὁ ἥλιος μακρότητα τῇ ἡμέρᾳ προσάγῃ ἐν τῇ κινήσει αὐτοῦ, καὶ κατακυριεύῃ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προσάγειν. τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν, ἃ γεννῶνται ἐν ὑδατώδεσι τόποις; ἐν τούτοις ὅτε τὸ ὕδωρ ἠρεμεῖ, γίνεται καθάπερ ἰλὺς, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι, ἵνα ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος. κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. εἰ γοῦν πλημμυρήσῃ ἄνεμος ἐν ἐκείνῳ τῷ τόπῳ, καὶ συσφιγχθῇ ἡ γῆ, συμπιέσῃ τε ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀὴρ, καὶ συμπήξῃ ὁ ἄνεμος τὴν ὑγρότητα, περιελεύσεται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων ἐν εἴδει καὶ σχήματι, διὰ τὴν διαμονὴν καὶ παχύτητα τοῦ ὕδατος, καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνωθεν. πάλιν περὶ τῶν φυτῶν ἃ εἰσὶν ἐν τόποις ὑγροῖς, καὶ ἡ ἐπιφάνεια αὐτῶν φαίνεται ἐν τῇ ὄψει τῆς γῆς χλοάζουσα, λέγω, ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἡ ἀραιότης. ὅταν οὖν ἐμπεσὼν ὁ ἥλιος κινήσῃ τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερμάνῃ τὸν τόπον τῇ συμβαινούσῃ κινήσει, καὶ τῇ θερμότητι τῇ περιειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς, (ὅπερ δὴ οὐ συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν ἂν αὐξηθῇ) καὶ ἡ ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑπεράνω τῆς γῆς, ὡς ὕφασμα χλοάζον. κἀντεῦθεν γεννᾶται φυτὸν, μὴ ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ τοῦ φαινομένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. ἔστι δὲ μεῖζον ἐκείνου, διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ ἐκτείνεσθαι δύναται. πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο φυτὸν γεννᾶται, οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως, ἄνευ ῥίζης. κινεῖται δὲ τοῦτο οὕτως· ὁπόταν φυτὸν πολλῶν ἀκανθῶν ἐν πίονι ὕδατι κινήσῃ,

A & vias obturat per quas aquæ meatus erant: & inde non nutritur planta.

CAPVT VI.

In vniuersum autem quæuis planta quatuor quibusdam indiget, semine terminato, loco conueniente, aqua moderata, aere consimili. Cùm itaque omnia hæc perfecta fuerint, nascitur planta, & crescit: quòd si abscesserint, imbecillior, pro abscessu scilicet, planta fit. Item quæ B in altis montibus prouenit planta, si fuerit species, perfectior erit, & aptior ad medicinam. Fructus autem ad digerendum durior, vt plurimùm non alat. Loca verò à Sole remota, sunt multarum plantarum productiua. Similiter dum Sol longitudinem diei motu suo addit, & humorem vicerit, vim habet planta producendi fructus, & folia. Quid autem de plantis statuendum, quæ in locis aquosis nascuntur? C In his dum aqua quieuerit, fit veluti fæx, nec est vis in aere, vt aquę partes attenuet. Detinetur enim in terræ interioribus aer, prohibétque aquæ crassitiem ascendere. Quòd si ventus ingruat in locum illum, & constringatur terra, reprimátque se aer inclusus, & coagulet ventus humorem illum: prouenient ex ea humiditate plantæ non multum in figura & forma differentes, ob perseuerantiam scili- D cet & crassitudinem aquæ, & Solis calorem è supernis incumbentem. Rursus de plantis, quæ in locis humidis sunt, & quarum superficies in superficie terræ apparet virescens, id dico, quòd in locis illis exigua fit raritas. Cùm itaque Sol incidens illius humiditatem mouerit, locúmque motu suo excalfecerit, calore itidem in interiora terræ compresso (id quod non accidit, in quibus locis planta non E habet vnde crescat) humórque sua expansione fit diffusus, tum fumus fit super terra, veluti tela virescens: & inde planta gignitur non habens folia è genere scilicet plantarum, quæ per superficiem aquarum visuntur. Est autem maior quàm illa: quia propior terræ est, licet ascendere: & extendi non possit. Sæpe quoque in plantis planta alia nascitur, non eiusdem speciei, & similitudinis absque radice. Id F ita fieri solet, dum planta spinarum plurimarum in pingui aqua mouerit se.